Ακαδημία Αθηνών / Academy of Athens

# N

**ναρκᾶν.** Εἶμαι ναρκωμένος, be benumbed, Δημόκριτος 290 *λύπην ἀδέσποτον ψυχῆς ν α ρ κ ώ σ η ς λογισμῷ ἔκκρουε.*

**ναστὸν 1.** Συμπαγὲς μόριον, compact molecule, Ἐμπεδοκλῆς Α 87 (DK I 306,4) Ἐμπεδοκλῆς ἐν ἅπασι τοῖς σώμασι τοῖς ὑπὸ σελήνην, οἷον ὕδασιν, ἐλαίοις καὶ τοῖς ἄλλοις, εἶναι ἔλεγεν ... ἀναμεμιγμένους *πόρους* καὶ *ν α σ τ ά*, καὶ τοὺς μὲν *πόρους* ἐκάλεσε κοῖλα, τὰ δὲ *ν α σ τ ὰ* πυκνὰ **2.** Ἄτομο/σωματίδιο, atom/corpuscle, Δημόκριτος Α 37 (DK II 93,25) Δημόκριτος ἡγεῖται τὴν τῶν ἀιδίων φύσιν εἶναι μικρὰς οὐσίας πλῆθος ἀπείρους· ταύταις δὲ τόπον ἄλλον ὑποτίθησιν ἄπειρον τῷ μεγέθει. προσαγορεύει δὲ τὸν μὲν τόπον τοῖσδε τοῖς ὀνόμασι τῷ τε *κενῷ* καὶ τῷ *οὐδενὶ* καὶ τῷ *ἀπείρῳ*, τῶν δὲ οὐσιῶν ἑκάστην τῷ τε *δενὶ* καὶ τῷ *ν α σ τ ῷ* καὶ τῷ *ὄντι* Α 46 (DK II 95,27) Δημόκριτος τὰ *ν α σ τ ὰ* καὶ *κενὰ* (sc. ἀρχὰς εἶναι) Α 47 (DK II 96,4) Δημόκριτος τὰ πρῶτά φησι σώματα (ταῦτα δ' ἦν τὰ *ν α σ τ ά*) βάρος μὲν οὐκ ἔχειν, κινεῖσθαι ⟨δὲ⟩ κατ' ἀλληλοτυπίαν ἐν τῷ ἀπείρῳ Α 125 (DK II 112,29) Δημόκριτος φύσει μὲν μηδὲν εἶναι χρῶμα· τὰ μὲν γὰρ στοιχεῖα ἄποια, τά τε *ν α σ τ ὰ* καὶ τὸ κενόν· τὰ δὲ ἐξ αὐτῶν συγκρίματα κεχρῶσθαι *διαταγῇ* τε καὶ *ῥυθμῷ* καὶ *προτροπῇ*, ὧν ἡ μέν ἐστι τάξις ὁ δὲ σχῆμα ἡ δὲ θέσις· παρὰ ταῦτα γὰρ αἱ φαντασίαι 11p (τίτλ.) *Περὶ ἀλόγων γραμμῶν καὶ ν α σ τ ῶ ν ΑΒ.* || **ναστός** (συνών. *πλέως*, *πυκνός*). Συμπαγής/στερεός, compact/solid, Λεύκιππος Α 8 (DK II 74,8) τὴν γὰρ τῶν ἀτόμων οὐσίαν *ν α σ τ ὴ ν* καὶ πλήρη ὑποτιθέμενος (sc. ὁ Λεύκιππος) ὂν ἔλεγεν εἶναι καὶ ἐν τῷ κενῷ φέρεσθαι, ὅπερ μὴ ὂν ἐκάλει Α 14 (DK II 75,23) οὗτοι γὰρ (sc. Λεύκιππος καὶ Δημόκριτος) ἔλεγον ἀπείρους εἶναι τῷ πλήθει τὰς ἀρχάς, ἃς καὶ *ἀτόμους* καὶ ἀδιαιρέτους ἐνόμιζον καὶ ἀπαθεῖς διὰ τὸ *ν α σ τ ὰ ς* εἶναι καὶ ἀμοίρους τοῦ κενοῦ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ